ἀπὸ τῆς αὐλῆς συναπῆλθε καὶ τζαούσιός τις τῶν ἀπὸ τῆς πόρτας φέρων τὸ πρόσταγμα. Φθάσαντες δὲ οἱ σταλέντες εἰς Σμύρνην κατὰ τὴν ὀγδόην τοῦ Ἰουλίου, ἐν ᾗ ἡ τοῦ μεγαλομάρτυρος Προκοπίου ἑορτή, ἐπέδωκαν αὐτῷ τὰ ἐκκλησιαστικὰ τῆς κοινῆς ἐκλογῆς καὶ προσκλήσεως γράμματα, καὶ σὺν αὐτοῖς τὸν βασιλικὸν ὁρισμὸν, καὶ μὴ ἔχων ἄλλως ποιῆσαι ἀπεδέξατο τὴν κοινὴν ἀπόφασιν, καὶ συμπληρώσας τὴν ἑορτὴν, καὶ ἐπευλογήσας τούς τε κληρικοὺς καὶ ἄρχοντας τῆς λαμπρᾶς ἐκείνης πόλεως, καὶ ἅπαντα τὸν εὐσεβῆ λαόν, καὶ ἀπολαβὼν τῶν ἐκεῖ ἐνδόξων κονσούλων προσφιλεῖς τὰς προσρήσεις καὶ δεξιώσεις, ὁδοῦ ἥψατο, καὶ ἐνδόξως διελθὼν διά τε Ἀσίας καὶ Εὐρώπης παραλλάξας δι᾽ Ἑλλησπόντου, ἀνῆλθεν εἰς Κωνσταντινούπολιν, καὶ παραλαβὼν τοὺς ἐνδημοῦντας ἁγίους ἀρχιερεῖς καὶ κληρικοὺς τῆς μεγάλης ἐκκλησίας, παρέστη τῷ ἐπιτρόπῳ τῆς βασιλείας ὡς σύνηθες. Ἀπολαβόντες οὖν τὰ συνήθη καββάδια ἐπανῆλθον εἰς τὸ πατριαρχεῖον, καὶ γενομένης κανονικῶς τῆς μεταθέσεως ἐν τῷ ναῷ τοῦ μεγαλομάρτυρος ἁγίου Γεωργίου τῇ εἰκοστῇ ἐννάτῃ Ἰουλίου, ἀνευφήμησαν αὐτὸν οἰκουμενικὸν πατριάρχην.

Διαδεξάμενος οὖν ὁ παναγιώτατος κύριος Προκόπιος τὸν οἰκουμενικὸν ἀποστολικὸν θρόνον, καὶ κατιδὼν τὴν τυραννουμένην ἐκκλησίαν πάντοθεν καταπονουμένην ταῖς ἀλλεπαλλήλοις χρείαις καὶ ἀνάγκαις, διενοήθη περιποιήσασθαι τὴν πατριαρχικὴν ἐξουσίαν, ἐπιρρώσας τὴν συνοδικὴν κυριότητα, καὶ τὴν ὀχλώδη ἀποστῆσαι τῆς μεγάλης ἐκκλησίας ἐπιτροπαρχείαν. Διὸ πρῶτον ἐξ ἰδίων ἀποπληρώσας πλείω τῶν ἑκατὸν ταλάντων, εἴς τε τὰς συνήθεις τῶν κρατούντων λήψεις ἐν ταῖς ἀλλαγαῖς τῶν πατριαρχῶν, (ἀρχὴν γὰρ μεγίστην ἐν τοῖς ἀρχομένοις ταύτην τὴν ἀποκατάστασιν ἡγούμενοι οὐκ ἀφιλότιμον αἱροῦνται, ὥσπερ καὶ τὰς ἄλλας εἰώθασι) καὶ εἰς ἑτέρας ἐπισυμβάσας ἐκτίσεις προσέθετο, μηδὲν ἐκ τοῦ κοινοῦ προσλαμ-